www.e-rara.ch

# Demosthenis et Aeschinis principum Graeciae oratorum opera

## Demosthenes

## Basileae, [1571-]1572

**Universitätsbibliothek Basel**

Persistent Link: https://doi.org/10.3931/e-rara-98668

Argumentum Orationis In Stephanum testem secunda

**www.e-rara.ch**
Die Plattform e-rara.ch macht die in Schweizer Bibliotheken vorhandenen Drucke online verfügbar. Das Spektrum reicht von Büchern über Karten bis zu illustrierten Materialien – von den Anfängen des Buchdrucks bis ins 20. Jahrhundert.

e-rara.ch provides online access to rare books available in Swiss libraries. The holdings extend from books and maps to illustrated material – from the beginnings of printing to the 20th century.

e-rara.ch met en ligne des reproductions numériques d'imprimés conservés dans les bibliothèques de Suisse. L'éventail va des livres aux documents iconographiques en passant par les cartes – des débuts de l'imprimerie jusqu'au 20e siècle.

e-rara.ch mette a disposizione in rete le edizioni antiche conservate nelle biblioteche svizzere. La collezione comprende libri, carte geografiche e materiale illustrato che risalgono agli inizi della tipografia fino ad arrivare al XX secolo.

**Nutzungsbedingungen** Dieses Digitalisat kann kostenfrei heruntergeladen werden. Die Lizenzierungsart und die Nutzungsbedingungen sind individuell zu jedem Dokument in den Titelinformationen angegeben. Für weitere Informationen siehe auch [Link]

**Terms of Use** This digital copy can be downloaded free of charge. The type of licensing and the terms of use are indicated in the title information for each document individually. For further information please refer to the terms of use on [Link]

**Conditions d'utilisation** Ce document numérique peut être téléchargé gratuitement. Son statut juridique et ses conditions d'utilisation sont précisés dans sa notice détaillée. Pour de plus amples informations, voir [Link]

**Condizioni di utilizzo** Questo documento può essere scaricato gratuitamente. Il tipo di licenza e le condizioni di utilizzo sono indicate nella notizia bibliografica del singolo documento. Per ulteriori informazioni vedi anche [Link]

σύρος ἢ μάνης, ἢ τίς ἕκαστος ἐκείνων, οὗτος δὲ Φορμίων· ἀλλὰ τὸ πρᾶγμα τὸ αὐτό, δοῦλοι μὲν ἐκεῖνοι. δοῦλος δ' οὗτος ἦν, δεσπόται δ' ὑμεῖς· δεσπότης δ' ἦν ἐγώ. ἣν τοίνυν ὑμῶν ἂν ἕκαστος δίκην ἀξιώσειε λαβεῖν, ταύτην νομίζετε κἀμοὶ προσήκειν νῦν. καὶ τὸν ἀφῃρημένον τῷ μαρτυρῆσαι τὰ ψευδῆ, καὶ ὑπὲρ τῶν νόμων καὶ ὑπὲρ τῶν ὅρκων οὓς ὀμωμοκότες δικάζετε, τιμωρήσασθε. καὶ παράδειγμα ποιήσατε τοῖς ἄλλοις· μνημονεύοντες πάντα ὅσα ἀκηκόατε ἡμῶν. καὶ φυλάττοντες, ἐὰν παράγειν ἐπιχειρῶσιν ὑμᾶς πρὸς ἕκαστον ἀπαντῶντες, ἐὰν μὴ φῶσιν ἅπαντα μεμαρτυρηκέναι. τί οὖν ἐν τῷ γραμματείῳ γέγραπται; τί οὖν οὐ τότε ἀπηλείφου; τίς οὖν ἡ παρὰ τοῖς ἄρχουσιν ἀντιγραφή; * ἐὰν μεμαρτυρηκέναι τὸν μὲν ἐπιτροπευθῆναι κατὰ διαθήκας, τὸν δ' ἐπιτροπεῦσαι, τὸν δ' ἔχειν· ποίας; ἐν αἷς τί γέγραπται; ταῦτ' ἐρωτᾶτε. ἃ γὰρ οὗτοι μεμαρτυρήκασιν, οὐδεὶς ἐκείνων προσμεμαρτύρηκεν. ἐὰν δ' ὀδύρωνται, τὸν πεπονθότα ἐλεεινότερον τῶν δωσόντων δίκην ἡγεῖσθε. ταῦτα γὰρ ἂν ποιῆτε, ἐμοί τε βοηθήσετε, καὶ τούτους τῆς ἄγαν κολακείας ἐπισχήσετε, καὶ αὐτοὶ τὰ εὔορκα ἔσεσθε ἐψηφισμένοι.

## ΥΠΟΘΕΣΙΣ ΤΟΥ ΚΑΤΑ ΣΤΕΦΑΝΟΥ ψευδομαρτυριῶν δευτέρου λόγου.

Ἐν τούτῳ τῷ λόγῳ καὶ τῶν φθασάντων τινὰ ἐπικατασκευάζεται, καὶ ἕτερα προσεισάγεται, εἰ καὶ παράνομοι αἱ διαθῆκαι;

## ΔΗΜΟΣΘΕΝΟΥΣ ΚΑΤΑ ΣΤΕΦΑΝΟΥ ΨΕΥΔΟμαρτυριῶν β'.

Ὅτι μὲν οὐκ ἀπορήσειν ἔμελλε Στέφανος οὑτοσὶ ὅ,τι ἀπολογήσεται περὶ τῆς μαρτυρίας, παράγων τῷ λόγῳ, ὡς οὐ πάντα μεμαρτύρηκε τὰ ἐν τῷ γραμματείῳ γεγραμμένα, καὶ ἐξαπατῶν ὑμᾶς, καὶ αὐτὸς σχεδόν τι ὑπενόουν, ὦ ἄνδρες δικασταί. πανοῦργός τε γάρ ἐστι, καὶ οἱ γράφοντες, καὶ οἱ συμβουλεύοντες ὑπὲρ Φορμίωνος πολλοί. ἅμα τ' εἰκός ἐστι, τοὺς ἐγχειροῦντας τὰ ψευδῆ μαρτυρεῖν, καὶ τὴν ἀπολογίαν εὐθέως ὑπὲρ αὐτῶν μελετᾶν. ὅτι δ' ἐν τοσούτῳ λόγῳ οὐδαμοῦ μάρτυρας παρέσχετο ὑμῖν, ὡς ἢ διατιθεμένῳ τῷ πατρὶ τῷ ἐμῷ παρεγένετό που αὐτὸς ταύτην τὴν διαθήκην, ὥστ' εἰδέναι τοῦθ' ὅτι ἀντίγραφά ἐστιν ὧν ὁ πατήρ μου διέθετο· ἢ ἀνοιχθὲν εἶδε τὸ γραμματεῖον, ὅ φασι διαθέμενον ἐκεῖνον καταλιπεῖν· ταῦτα συμμέμνησθέ μοι. ἀλλὰ μὴν ὁπότε μεμαρτύρηκεν ἀντίγραφα εἶναι τῶν διαθηκῶν τῶν Πασίωνος τὰ ἐν τῷ γραμματείῳ γεγραμμένα, τὰς διαθήκας μὴ ἔχων ἐπιδεῖξαι, μήθ' ὡς ὁ πατὴρ διέθετο ἡμῶν, μήθ' ὡς αὐτὸς εἶδε, παραγενόμενος αὐταῖς διατιθεμένου τοῦ πατρός· πῶς οὐ περιφανῶς οὗτος ἐξελέγχεται τὰ ψευδῆ μεμαρτυρηκώς; εἰ τοίνυν πρόκλησίν φησιν εἶναι, καὶ μὴ μαρτυρίαν, οὐκ ἀληθῆ λέγει. ἅπαντα γὰρ ὅσα παρέχονται εἰς τὸ δικαστήριον, προκαλούμενοι ἀλλήλους οἱ ἀντίδικοι, διὰ μαρτυρίας παρέχονται. οὐ γὰρ ἂν εἰδείηθ' ὑμεῖς εἴτ' ἐστὶν ἀληθῆ, εἴτε ψευδῆ, ἃ φασιν ἑκάτεροι, εἰ μή τις καὶ τοὺς μάρτυρας παρέχοιτο. ὅταν δὲ παράσχηται, τούτοις πιστεύοντες ὑποδίκοις οὖσι, ψηφίζεσθε ἐκ τῶν λεγομένων καὶ μαρτυρουμένων, ἃ ἂν ὑμῖν δοκῇ δίκαια εἶναι. βούλομαι τοίνυν καὶ τὴν μαρτυρίαν ἐξελέγξαι, ὅτι οὐ πρόκλησίς ἐστι, καὶ ὡς ἔδει μαρτυρεῖν αὐτοὺς εἴπερ ἐγίγνετο ἡ πρόκλησις, ὡς οὐκ ἐγίγνετο. μαρτυ-

A *enim id spectãdum est, Syrus ne an Manes, aut quisnam sit eorum quilibet, iste autem Phormio sit: res est eadem: serui & isti sunt, seruus & iste fuit: vos autem domini, dominus & ego fui. Quas igitur pœnas vnusquisque vestrûm sumendas existimaret: eas & mihi nunc sumendas existimate: & eum, qui me falso testimonio spoliauit, ad conseruandas leges, & iusiurandum, quo adacti sedetis, vlciscimini, & exẽplum in eo statuite cæteris: recordantes eorum omnium quæ è nobis audiuistis, & cauentes, sicubi vos seducere instituerint: singulatim eis occurrentes, si se non omnia testatos esse dixerint: cur igitur in tabella scriptum est? cur igitur tum non delebas? quæ igitur illa est apud prætores litis contestatio? Si alius se fuisse dixit sub tutela ex testamẽto, alius gessisse tutelam, alius habere testamentum, quale? in quo quid scriptum est? hæc quæritote. Nam quæ isti testati sunt, ea nemo è cæteris suo testimonio confirmauit. Sin lamẽtabuntur: eũ qui malum accepit, miserabiliorẽ iis, qui pœnas daturi sunt, putatote. Quæ si facietis: & me iuuabitis: & nimiã istorum assentationẽ cohercebitis:*
B *& ipsi ea quæ iurisiurandi religio postulat, decernetis.*

## *ARGVMENTVM ORATIONIS IN Stephanum testem secundæ.*

IN hac oratione, & quædam è superioribus firmius muniuntur, & alia noua inferuntur: vt, an & testamentum sit contra leges factum?

## DEMOSTHENIS IN STEPHANVM TESTEM, ORAtio secunda, Hieronymo Vuolfio interprete.

*NOn defuturam esse Stephano defensionem de testimonio, ac fore, vt verbis vos circumduceret, se non omnia in tabella perscripta dixisse, asserendo, vosque decipiendo: & ipse ferè suspicabar, Iudices. Nam & vafer est: & qui Phormioni scriptas orationes & consilia suggerant, multi sunt: simul etiam probabile est, eos qui mentiri pro testimonio instituant, etiam mendaciorum defensionem statim* C *meditari. Quòd autem in tam prolixa oratione, nusquam vobis testes produxit, se vsquam ipsum adfuisse patri meo id testamentum facienti: vt scire posset, exemplum eius testamenti id esse, quod pater meus fecerit: aut apertas vidisse tabulas, quas pater pro testamento reliquerit: hæc quæso vos, vt vnà mecum memoriæ mandetis. Verùm, quando testatus est, exemplum esse testamenti Pasionis ea, quæ tabulis inscripta fuerint, cum ostendere non possit, vel testamentum fecisse patrem nostrum, vel se interfuisse, testamentum faciente patre, & vidisse: nonne apertè conuincitur falsi testimonii? Quòd si prouocationem esse dicit, non testimonium: haud vera prædicat. Quicquid enim in iudicium afferunt in mutua prouocatione aduersarii: per testimoniũ afferũt. Neque enim vobis liquere posset, vera ne essent an falsa, quæ vtrique dicerent: nisi quis etiam testes adhiberet. iis verò adhibitis, illis credentes, vt qui reddẽdis rationibus obnoxii sint: tum ex his quæ à reis, tũ ex his quæ à testibus dicuntur, ea statuitis & decernitis, quæ vobis iusta esse videantur. Argumẽtis autẽ ostendam & testimonium esse, non prouocationem: & quemadmodum oportuisset testificari, si facta fuisset prouocatio, sicut facta non est.*

Defensionẽ Stephani nihil ad rẽ facere.